BLOOMSBURY

# *Histories*, 1.30–4, 86–7, 6.125

# Solon and Croesus; How Alcmaeon was enriched by Croesus

# 2018–2019 Prescription

ἐκδημήσας ὁ Σόλων εἰς Σάρδεις ἀφίκετο παρὰ Κροῖσον. ἀφικόμενος δὲ ἐξενίζετο ἐν τοῖς βασιλείοις ὑπὸ τοῦ Κροίσου· μετὰ δέ, ἡμέρᾳ τρίτῃ ἢ τετάρτῃ, κελεύσαντος Κροίσου, τὸν Σόλωνα θεράποντες περιῆγον κατὰ τοὺς θησαυρούς, καὶ ἐπεδείκνυσαν πάντα ὄντα μεγάλα τε καὶ ὄλβια. θεασάμενον δὲ αὐτὸν πάντα ἤρετο ὁ Κροῖσος τάδε, ‘ξένε Ἀθηναῖε, παρ’ ἡμᾶς περὶ σοῦ λόγος ἀφῖκται πολύς, καὶ σοφίας ἕνεκα τῆς σῆς καὶ πλάνης· νῦν οὖν ἵμερος ἐπῆλθέ με ἐπερωτᾶν εἴ τινα ἤδη πάντων εἶδες ὀλβιώτατον.’

ὁ μὲν ἐλπίζων εἶναι ἀνθρώπων ὀλβιώτατος ταῦτα ἐπηρώτα· Σόλων δέ, οὐδὲν ὑποθωπεύσας ἀλλὰ τῷ ὄντι χρησάμενος, λέγει ‘ὦ βασιλεῦ, Τέλλον Ἀθηναῖον.’ ἀποθαυμάσας δὲ Κροῖσος τὸ λεχθὲν ἤρετο ἐπιστρεφῶς, ‘πῶς δὴ κρίνεις Τέλλον εἶναι ὀλβιώτατον;’

ὁ δὲ εἶπε, ‘Τέλλῳ τοῦτο μὲν παῖδες ἦσαν καλοί τε κἀγαθοί, καὶ εἶδεν ἅπασιν αὐτοῖς τέκνα ἐκγενόμενα, καὶ πάντα παραμείναντα· τοῦτο δὲ τελευτὴ τοῦ βίου λαμπροτάτη ἐπεγένετο· γενομένης γὰρ Ἀθηναίοις μάχης πρὸς τοὺς ἀστυγείτονας ἐν Ἐλευσῖνι, βοηθήσας καὶ τροπὴν ποιήσας τῶν πολεμίων, ἀπέθανε κάλλιστα. καὶ Ἀθηναῖοι δημοσίᾳ τε ἔθαψαν αὐτὸν ἧπερ ἔπεσε, καὶ ἐτίμησαν μεγάλως.’

ὡς δὲ τὰ κατὰ τὸν Τέλλον διηγήσατο ὁ Σόλων, ἐπηρώτα ὁ Κροῖσος τίνα δεύτερον μετʹ ἐκεῖνον ἴδοι, δοκῶν πάνυ δευτερεῖα γοῦν οἴσεσθαι. ὁ δε εἶπε, ‘Κλέοβίν τε καὶ Βίτωνα· τούτοις γὰρ, οὖσι γένος Ἀργείοις, βίος τε ἀρκῶν ὑπῆν, καὶ πρὸς τούτῳ, ῥώμη σώματος τοιάδε· ἀθλοφόροι τε ἀμφότεροι ὁμοίως ἦσαν, καὶ δὴ καὶ λέγεται ὅδε ὁ λόγος.

οὔσης ἑορτῆς τῇ Ἥρᾳ ἔδει πάντως τὴν μητέρα αὐτῶν ζεύγει κομισθῆναι εἰς τὸ ἱερόν· οἱ δὲ βόες ἐκ τοῦ ἀγροῦ οὐ παρεγίγνοντο ἐν ὥρᾳ. οἱ δὲ νεανίαι, ὑποδύντες αὐτοὶ ὑπὸ τὴν ζεύγλην, εἷλκον τὴν ἅμαξαν, ἐπὶ δὲ τῆς ἁμάξης ὠχεῖτο ἡ μήτηρ. σταδίους δὲ πέντε καὶ τετταράκοντα διακομίσαντες ἀφίκοντο εἰς τὸ ἱερόν· ταῦτα δὲ ποιήσασιν αὐτοῖς καὶ ὀφθεῖσι ὑπὸ τῆς πανηγύρεως τελευτὴ τοῦ βίου

ἀρίστη ἐπεγένετο· διέδειξέ τε ἐν τούτοις ὁ θεὸς ὡς ἄμεινον εἴη ἀνθρώπῳ τεθνάναι μᾶλλον ἢ ζῆν. Ἀργεῖοι μὲν γὰρ περιστάντες ἐμακάριζον τῶν νεανιῶν τὴν ῥώμην, αἱ δὲ Ἀργεῖαι τὴν μητέρα αὐτῶν οἵων τέκνων ἐκύρησε· ἡ δὲ μήτηρ περιχαρὴς οὖσα τῷ τε ἔργῳ καὶ τῇ φήμῃ, στᾶσα ἀντίον τοῦ ἀγάλματος ηὔχετο τὴν θεὸν δοῦναι Κλεόβεί τε καὶ Βίτωνι ὃ ἀνθρώπῳ τυχεῖν ἄριστόν ἐστι.

μετὰ δὲ ταύτην δὲ τὴν εὐχήν, ὡς ἔθυσάν τε καὶ εὐωχήθησαν, κατακοιμηθέντες ἐν αὐτῷ τῷ ἱερῷ οἱ νεανίαι οὐκέτι ἀνέστησαν, ἀλλ' ἐν τέλει τούτῳ ἔσχοντο. Ἀργεῖοι δὲ εἰκόνας αὐτῶν ποιησάμενοι ἀνέθεσαν εἰς Δελφούς, ὡς ἀνδρῶν ἀρίστων γενομένων.'

Σόλων μὲν δὴ εὐδαιμονίας δευτερεῖα ἔνεμε τούτοις·

Κροῖσος δὲ σπερχθεὶς εἶπεν, ‘ὦ ξένε Ἀθηναῖε, ἡ δὲ ἡμετέρα εὐδαιμονία οὕτω τοι ἀπέρριπται εἰς τὸ μηδέν, ὥστε οὐδὲ ἰδιωτῶν ἀνδρῶν ἀξίους ἡμᾶς ἐποίησας;’ ὁ δὲ εἶπεν, ‘ὦ Κροῖσε, ἐπιστάμενόν με τὸ θεῖον πᾶν φθονερόν τε καὶ ταραχῶδες ὂν ἐπερωτᾷς ἀνθρωπείων πραγμάτων πέρι. ἐμοὶ δὲ σὺ καὶ πλουτεῖν μὲν μέγα φαίνει, καὶ βασιλεὺς πολλῶν εἶναι ἀνθρώπων· εὐδαίμονα δὲ οὔπω σε ἐγὼ λέγω, πρὶν ἂν τελευτήσαντά σε καλῶς τὸν αἰῶνα πύθωμαι. σκοπεῖν δὲ χρὴ παντὸς χρήματος τὴν τελευτήν πῇ ἀποβήσεται· πολλοῖς γὰρ δὴ ὑποδείξας ὄλβον ὁ θεὸς προρρίζους ἀνέτρεψε.’

ταῦτα λέγων τῷ Κροίσῳ οὔ πως ἐχαρίζετο ὁ Σόλων· λόγου δὲ αὐτὸν ποιησάμενος οὐδενὸς ἀποπέμπεται ὁ Κροῖσος, κάρτα δόξας ἀμαθῆ εἶναι, ὃς τὰ παρόντα ἀγαθὰ μεθεὶς τὴν τελευτὴν

παντὸς χρήματος ὁρᾶν ἐκέλευε.

μετὰ δὲ Σόλωνα οἰχόμενον ἔλαβεν ἐκ θεοῦ νέμεσις μεγάλη Κροῖσον, ὡς εἰκάσαι, ὅτι ἐνόμισεν ἑαυτὸν εἶναι ἀνθρώπων ἁπάντων ὀλβιώτατον. οἱ γὰρ Πέρσαι τάς τε Σάρδεις εἷλον, καὶ αὐτὸν Κροῖσον ἐζώγρησαν, ἄρξαντα ἔτη τετταρεσκαίδεκα· λαβόντες δὲ αὐτὸν ἤγαγον παρὰ Κῦρον. ὁ δὲ συννήσας πυρὰν μεγάλην ἀνεβίβασεν ἐπ′ αὐτὴν τὸν Κροῖσόν τε ἐν πέδαις δεδεμένον καὶ δὶς ἑπτὰ Λυδῶν παρ′ αὐτὸν παῖδας. τῷ δὲ Κροίσῳ, ἑστῶτι ἐπὶ τῆς πυρᾶς, εἰσῆλθε, καίπερ ἐν κακῷ ὄντι τοσούτῳ, τὸ τοῦ Σόλωνος, ὡς εἴη σὺν θεῷ εἰρημένον, τὸ ‘μηδένα εἶναι τῶν ζώντων ὄλβιον.’ ἀνενεγκάμενος δὲ καὶ ἀναστενάξας ἐκ πολλῆς ἡσυχίας εἰς τρὶς ὠνόμασε Σόλωνα·

BLOOMSBURY

καὶ ὁ Κῦρος ἀκούσας ἐκέλευσε τοὺς ἑρμηνέας ἐπέρεσθαι τὸν Κροῖσον τίνα ἐπικαλοῖτο· καὶ οἱ δὲ προσελθόντες ἐπηρώτων. Κροῖσος δὲ τέως μὲν σιγὴν εἶχεν ἐρωτώμενος· μετὰ δὲ ἔλεγεν ὡς ἔλθοι ποτὲ ὁ Σόλων, ὢν Ἀθηναῖος, καὶ θεασάμενος πάντα τὸν ἑαυτοῦ ὄλβον ἀποφλαυρίσειε· καὶ πάντα ἑαυτῷ ἀποβεβήκοι ᾗπερ ἐκεῖνος εἶπεν, οὐδέν τι μᾶλλον εἰς ἑαυτὸν λέγων ἢ εἰς ἅπαν τὸ ἀνθρώπινον καὶ μάλιστα τοὺς παρ' ἑαυτοῖς ὀλβίους δοκοῦντας εἶναι. ὁ μὲν Κροῖσος ταῦτα ἀφηγεῖτο, τῆς δὲ πυρᾶς ἤδη ἡμμένης ἐκαίετο τὰ περιέσχατα. καὶ ὁ Κῦρος, ἀκούσας παρὰ τῶν ἑρμηνέων ἃ Κροῖσος εἶπε, μεταγνούς τε καὶ ἐννοήσας ὅτι καὶ αὐτὸς ἄνθρωπος ὢν ἄλλον ἄνθρωπον, γενόμενον ἑαυτοῦ εὐδαιμονίᾳ οὐκ ἐλάττω, ζῶντα πυρὶ διδοίη, ἐκέλευε σβεννύναι τὴν ταχίστην τὸ καιόμενον πῦρ, καὶ καταβιβάζειν Κροῖσόν τε

καὶ τοὺς μετὰ Κροίσου. καὶ οἱ δὲ πειρώμενοι οὐκ ἐδύναντο ἔτι τοῦ πυρὸς ἐπικρατῆσαι.

ἐνταῦθα Κροῖσος, μαθὼν τὴν Κύρου μετάγνωσιν, ἐπεβοήσατο τὸν Ἀπόλλωνα ἐπικαλούμενος παραστῆναι καὶ ῥύσασθαι αὐτὸν ἐκ τοῦ παρόντος κακοῦ. ὁ μὲν δακρύων ἐπεκαλεῖτο τὸν θεόν· ἐκ δὲ αἰθρίας τε καὶ νηνεμίας συνέδραμεν ἐξαίφνης νέφη, καὶ χειμών τε κατερράγη καὶ ὗσεν ὕδατι λαβροτάτῳ, κατεσβέσθη τε ἡ πυρά.

οἱ Ἀλκμαιωνίδαι ἦσαν μὲν καὶ πάλαι λαμπροὶ ἐν ταῖς Ἀθήναις, ἀπὸ δὲ Ἀλκμαίωνος καὶ αὖθις Μεγακλέους ἐγένοντο καὶ κάρτα λαμπροί. ὁ γὰρ Ἀλκμαίων συμπράκτωρ ἐγίγνετο τοῖς ἐκ Σάρδεων Λυδοῖς παρὰ Κροίσου ἀφικνουμένοις καὶ συνελάμβανε προθύμως·

BLOOMSBURY

καὶ Κροῖσος πυθόμενος ταῦτα μεταπέμπεται αὐτὸν εἰς Σάρδεις. ἀφικόμενον δὲ δωρεῖται χρυσῷ τοσούτῳ ὅσον ἂν δύνηται τῷ ἑαυτοῦ σώματι ἐξενεγκέσθαι εἰσάπαξ.

ὁ δὲ Ἀλκμαίων ἐνδὺς χιτῶνα μέγαν καὶ κόλπον βαθὺν καταλιπόμενος τοῦ χιτῶνος, καὶ κοθόρνους οὓς ηὕρισκεν εὐρυτάτους ὄντας ὑποδησάμενος, ἤει εἰς τὸν θησαυρόν.

εἰσπεσὼν δὲ εἰς σωρὸν ψήγματος πρῶτον μὲν παρέσαξε παρὰ τὰς κνήμας ὅσον τοῦ χρυσοῦ ἐχώρουν οἱ κόθορνοι, μετὰ δὲ, τὸν κόλπον πάντα πλησάμενος τοῦ χρυσοῦ καὶ εἰς τὰς τρίχας τῆς κεφαλῆς διαπάσας τοῦ ψήγματος, καὶ ἄλλο λαβὼν εἰς τὸ στόμα, ἐξῄει ἐκ τοῦ θησαυροῦ ἕλκων μὲν μόγις τοὺς κοθόρνους, παντὶ δέ τινι εἰκὼς μᾶλλον ἢ ἀνθρώπῳ· τό

τε γὰρ στόμα ἐβέβυστο καὶ πάντα ἐξώγκωτο. ἰδόντα δὲ τὸν Κροῖσον γέλως εἰσῆλθε, καὶ αὐτῷ πάντα τε ἐκεῖνα δίδωσι, καὶ προσέτι ἕτερα οὐκ ἐλάττω ἐκείνων.